δύο, καὶ ἡ ἐκ μέσου ἐπισταθεῖσα ὀρθή, ἰδόντι δῆλον τῷ ἐκεῖνο εἰδότι. ὥστε φανερὸν ὅτι τὰ δυνάμει ὄντα, εἰς ἐνέργειαν ἀγόμενα εὑρίσκεται. αἴτιον δέ, ὅτι νόησις ἡ ἐνέργεια. ὥστ' ἐξ ἐνεργείας ἡ δύναμις· καὶ διὰ τοῦτο ποιοῦντες γινώσκουσιν. ὕστερον γὰρ γενέσει ἡ ἐνέργεια ἡ κατ' ἀριθμόν.

## Κεφάλαιον ι.

Ἐπεὶ δὲ τὸ ὂν λέγεται καὶ τὸ μὴ ὄν, τὸ μὲν κατὰ τὰ σχήματα τῶν κατηγοριῶν, τὸ δὲ κατὰ δύναμιν ἢ ἐνέργειαν τούτων, ἢ τἀναντία, τὸ δὲ κυριώτατον ὄν, ἀληθὲς ἢ ψεῦδος· τοῦτο δ' ἐπὶ τῶν πραγμάτων ἐστὶ τὸ συγκεῖσθαι ἢ διαιρεῖσθαι· ὥστε ἀληθεύει μὲν ὁ τὸ διῃρημένον οἰόμενος διαιρεῖσθαι, καὶ τὸ συγκείμενον συγκεῖσθαι· ἔψευσται δὲ ὁ ἐναντίως ἔχων, ἢ τὰ πράγματα. πότ' ἐστιν, ἢ οὐκ ἔστιν. ὥστε τὸ ἀληθὲς λεγόμενον, ἢ ψεῦδος, τοῦτο γὰρ σκεπτέον τί λέγομεν. οὐ γὰρ διὰ τὸ ἡμᾶς οἴεσθαι ἀληθῶς σε λευκὸν εἶναι, εἶ σὺ λευκός· ἀλλὰ διὰ τὸ σὲ λευκὸν εἶναι, ἡμεῖς οἱ φάντες τοῦτο ἀληθεύομεν. εἰ δὴ τὰ μὲν ἀεὶ σύγκειται, καὶ ἀδύνατα διαιρεθῆναι, τὰ δ' ἀεὶ διῄρηται, καὶ ἀδύνατα συντεθῆναι, τὰ δ' ἐνδέχεται τἀναντία· τὸ μὲν εἶναί ἐστι τὸ συγκεῖσθαι καὶ ἓν εἶναι· τὸ δὲ μὴ εἶναι, τὸ μὴ συγκεῖσθαι, ἀλλὰ πλείω εἶναι. περὶ μὲν οὖν τὰ ἐνδεχόμενα, ἡ αὐτὴ γίνεται ψευδὴς καὶ ἀληθὴς δόξα, καὶ ὁ λόγος ὁ αὐτός· καὶ ἐνδέχεται ὁτὲ μὲν ἀληθεύειν, ὁτὲ δὲ ψεύδεσθαι. περὶ δὲ τὰ ἀδύνατα ἄλλως ἔχειν, οὐ γίνεται ὁτὲ μὲν ἀληθές, ὁτὲ δὲ ψεῦδος, ἀλλ' ἀεὶ ταῦτα ἀληθῆ καὶ ψευδῆ. περὶ δὲ δὴ τὰ ἀσύνθετα, τί τὸ εἶναι, ἢ μὴ εἶναι, καὶ τὸ ἀληθὲς καὶ τὸ ψεῦδος; οὐ γάρ ἐστι σύνθετον. ὥστε εἶναι μέν, ὅταν σύγκηται· μὴ εἶναι δέ, ἐὰν διῃρημένον ἦ (ὥσπερ τὸ λευκὸν ξύλον, ἢ τὸ ἀσύμμετρον τὴν διάμετρον.) οὐδὲ τὸ ἀληθὲς καὶ τὸ ψεῦδος ὁμοίως ἔτι ὑπάρξει καὶ ἐπ' ἐκείνων. ἢ ὥσπερ οὐδὲ τὸ ἀληθὲς ἐπὶ τούτων τὸ αὐτό, οὕτως οὐδὲ τὸ εἶναι; ἀλλ' ἔστι τὸ μὲν ἀληθές, τὸ δὲ ψεῦδος. τὸ μὲν θιγεῖν καὶ φάναι ἀληθές. οὐ γὰρ ταὐτὸ κατάφασις καὶ φάσις. τὸ δ' ἀγνοεῖν μὴ θιγγάνειν. ἀπατηθῆναι γὰρ περὶ τὸ τί ἐστιν, οὐκ ἔστιν, ἀλλ' ἢ κατὰ συμβεβηκός. ὁμοίως δὲ καὶ περὶ τὰς ἀσυνθέτους οὐσίας. οὐ γάρ ἐστιν ἀπατηθῆναι· καὶ πᾶσαί εἰσιν ἐνεργείᾳ, οὐ δυνάμει. ἐγίνοντο γὰρ ἄν, καὶ ἐφθείροντο· νῦν δὲ τὸ ὂν αὐτὸ οὐ γίνεται, οὐδὲ φθείρεται.

A duo, & qui ex medio suprà stat rectus, videnti manifestum erit ei, qui illud sciat. Quare patet quòd quæ potentia sunt, redacta in actum inueniuntur. Causa autem est, quia intellectio est actus: quare ex actu potentia: & ob hoc agendo cognoscunt. Posterior nanque generatione est, qui secundum numerum actus est.

## CAPVT X.

Cum autem ens, & non ens, dicatur B quoddam quidem secundum figuras prædicamentorum: quoddam autem secundum potentiam, aut actum horum, aut contraria: quoddam verò maximè propriè ens verum aut falsum: hoc autem in rebus est compositione, vel diuisione. Quam ob rem verum dicit, qui diuisum diuidi, & compositum componi putat: falsum autem qui contrà, quàm res se habeant, aut quando sunt, aut non sunt. Qua- C re quod verum, aut falsum dicitur, quid profectò hoc dicimus, considerandum est. Non enim propterea quòd nos te verè putamus album esse, tu albus es: sed proptereà quòd tu albus es, nos qui dicimus, verum dicimus. Si quædam itaque semper composita & impossibilia diuidi, quædam verò semper diuisa & impossibilia componi sunt, quædam verò contingit contraria esse, (esse quidem est componi. & vnum esse: non esse verò, non compo- D ni, sed plura esse) ergo circa contingentia quidem, eadem fit falsa, & vera opinio, & eadem oratio: & contingit quandoque veram, quandoque falsam esse. Circa verò impossibilia aliter se habere, nõ fit quandoque verum, quandoque falsum, sed hæc semper vera, & falsa sunt. Circa incomposita vero, quid esse aut non esse, & verum & falsum? Non enim est compositum, vt sit quidem si componatur, non sit E autem si diuisum sit, (sicuti album lignum, aut diametrum incommensurabilem esse) nec verum & falsum, similiter etiam in illis erit. An quemadmodum neque verum est, idem in his, ita nec ipsum esse? Certè illud quidem verum, hoc vero falsum est. Attingere nãque, ac dicere, verum est: non enim est idem affirmatio & dictio. Non attingere vero est ignorare. Non est profectò decipi circa quod F quid est, nisi secundum accidens. Similiter autem est circa non compositas substantias: non enim est decipi. Et cunctæ sunt actu, non potentia. Generarentur etenim profectò, ac corrumperentur: nunc autem ipsum ens nõ fit, neq. corrumpitur: